**0900-1000 - Olympiodus Alexandrinus Diaconus - Commentarii in Baruch**

**This text belongs to the Thesaurus Linguae Graecae (TLG®), a Research Center at the University of California, Irvine, which digitized it and owns the relevant ©Copyright. On May 15, 2008, Prof. M. Pantelia, the Director of the Center, has expressly authorized www.documentacatholicaomnia.eu to post it into our site. Cooperatorum Veritatis Societas thanks the prof. Pantelia, the Center, and the University of California, Irvine, of having granted the opportunity to make publicly available this text of high quality, serial number '2865 005 '.**

Charset and format of the text have been changed in order to make it possible the computation of analytic indexes and concordances. Analytical indexes and concordances have been made by the Cooperatorum Veritatis Societas.

Commentarii in Baruch (in catenis)

## [00001] [93.761] ΚΕΦΑΛΑΙΟΝ Α΄.

[00002] Υἱοῦ Χελκίου.

[00003] Ἴσως ὡς ἀξιολόγων τῶν προγόνων τοῦ Βαροὺχ μέμνηται.

[00004] Ἐν τῷ καιρῷ.

[00005] Οὐκ εἶπεν ἐν τῷ ἐνιαυτῷ, ἀλλ' ἐν τῷ καιρῷ, ἵνα εἴπῃ, κατ' ἐκείνους τοὺς χρόνους·

[00006] οὐ γὰρ ἐν τῷ πέμπτῳ, οὔτε ἐν τῷ ἐνάτῳ ἔτει τῆς βασιλείας Σεδεκίου ἥλω ἡ πόλις, ἀλλ' ἐν τῷ ἑνδεκάτῳ.

[00007] Ἐν ὠσὶν Ἰεχονίου.

[00008] Τοῦτον πρότερον μετοικήσας ἦν εἰς Βαβυλῶνα ὁ Ναβουχοδονόσορ.

[00009] Ὁ αὐτὸς δὲ οὗτος Ἰεχονίας υἱὸς Ἰωακεὶμ, καὶ αὐτὸς Ἐλιακεὶμ ἐκαλεῖτο, διώνυμος ὤν.

[00010] Καὶ ἐν ὠσὶ παντός.

[00011] Ἀντὶ τοῦ, τῶν συνελθόντων εἰς τὴν ἀκρόασιν.

[00012] Καὶ ἀνοίσατε ἐπὶ τὸ θυσιαστήριον.

[00013] Εἰ καὶ κατασκαφεὶς ἦν ὁ ναὸς, ἀλλ' ἐν τῷ τόπῳ ἔθυον·

[00014] οὐ γὰρ ἦν ἐξὸν ἀλλαχοῦ, εἰ μὴ ἐν Ἱερουσαλὴμ τὰς θυσίας ἐπιτελεῖν.

[00015] Καὶ προσεύξεσθε περὶ τῆς ζωῆς Ναβυχοδονόσορ.

[00016] Θεὸς ἦν προστάξας αὐτοῖς εὔχεσθαι περὶ τῆς εἰρήνης τῶν Βαβυλωνίων, ἵνα καὶ αὐτοὶ εἰρηνεύωσιν.

[00017] Ἵνα ὦσιν αἱ ἡμέραι αὐτῶν.

[00018] Ἵνα ὦσιν πολυχρόνιοι, ἢ, ἵνα κατὰ εὐσέβειαν ζῶσιν.

[00019] Ἐν ἡμέραις ἑορτῆς.

[00020] Καὶ γὰρ εἶχον καιρούς τινας διαφορὰς ἑορτῶν.

[00021] Καὶ ἐρεῖτε Κυρίῳ Θεῷ ἡμῶν.

[00022] Κατὰ τὸν τοῦ [93.764] δικαίου λόγον, καὶ Θεὸς ἐτιμωρήσατο, καὶ ἡμεῖς ἐν αἰσχύνῃ ἐσμὲν σήμερον, ἐν αἰχμαλωσίᾳ ὄντες δικαίως.

[00023] Καὶ ἐσχεδιάζομεν.

[00024] Προὐφασιζόμεθα αἰτίας ἀναπλάττοντες.

[00025] ΚΕΦ. Β΄.

[00026] Καὶ ἐποίησας σεαυτῷ ὄνομα.

[00027] Κατὰ τὰ διηνεκῆ σου θαυμάσια·

[00028] τῷ γὰρ προφήτῃ καὶ πᾶσι τοῖς ἁγίοις οὐ διαλιμπάνει θαυματουργῶν ὁ Θεὸς, ἀλλ' ἀεὶ θαυμαστὸς παρ' αὐτοῖς.

[00029] Εἰ μὴ ποιήσῃ σημεῖα, οὐ θαυμάζεται.

[00030] Ἀλλὰ ἡ ψυχή.

[00031] Οἱ μεγάλα φορτία βαστάζοντες, ἀσθενοῦντες κύπτουσι.

[00032] Ψυχὴ οὖν, φησὶν, ἡ διὰ τὰς ἁμαρτίας κακουμένη, καὶ μέγεθος ἔχουσα λύπης, κύπτουσα καὶ ἀσθενοῦσα ὁμολογεῖται.

[00033] Καὶ οἱ ὀφθαλμοὶ οἱ ἐκλείποντες.

[00034] Εἴτε αἰσθητῶς διὰ τὰς συμφορὰς, εἴτε καὶ ἐκ τῆς νοητῆς θεωρίας ἀμαυρούμενοι.

[00035] Τοῦ ἐξενεχθῆναι τὸ ὀστᾶ βασιλέων ἡμῶν.

[00036] Εἰς δεῖγμα τῆς μελλούσης κρίσεως, μετὰ τελευτὴν τὰ ὀστᾶ αὐτῶν ἐτιμωροῦντο.

[00037] ΚΕΦ. Γʹ.

[00038] Ὅτι σὺ καθήμενος τὸν αἰῶνα.

[00039] Σὺ, φησὶν, ἀΐδιος εἶ καὶ ἐξουσιαστὴς, ἡμεῖς δὲ θνητοὶ καὶ ἐπίκηροι.

[00040] Κύριε παντοκράτωρ, ἄκουσον δὴ τῆς προσευχῆς τῶν τεθνηκότων.

[00041] Τεθνηκότων, φησὶ, τῶν ὑπὸ τὴν ἀπόφασιν γενομένων διὰ τὴν ἁμαρτίαν.

[00042] Ἔδειξεν ὁ λόγος σαφῶς τῆς ψυχῆς τὸ ἀθάνατον.

[00043] Ἀλλὰ μνήσθητι.

[00044] Τῇ συνήθει, φησὶν, χρῆσαι θαυματουργίᾳ, καὶ ὡς ἐξήγαγες ἐξ Αἰγύπτου, οὕτως ἐλευθέρωσον ἐκ Βαβυλῶνος.

[00045] Ὅτι σὸς λαὸς χρηματίζομεν.

[00046] Ἰδοὺ ἡμεῖς σήμερον ἐν τῇ ἀποικίᾳ ἡμῶν.

[00047] Ἑαυτοὺς, φησὶν, ἐκρίναμεν, καὶ ἐμεμψάμεθα, ὅτι ἀξίως ἐπέβη ἡμῖν διὰ τὰ ἔργα τῶν πατέρων ἡμῶν.

[00048] Ἄκουε, Ἰσραήλ.

[00049] Ἐντεῦθεν ἄρχεται προφητεύειν ὁ Βαρούχ·

[00050] τὰ γὰρ προηγησάμενα ῥήματα πάντα τῆς ἐπιστολῆς τῶν αἰχμαλώτων τῶν ἐκ Βαβυλῶνος ἐπεσταλκότων ἐστὶν, ὡς ἐξομολογήσεως σχήματι προφερόμενα.

[00051] Ἐπαλαιώθης.

[00052] Ἐντολὴ ζωῆς, ἡ φρόνησις.

[00053] Προσελογίσθης.

[00054] Τοῖς ἀγνωσίαν Θεοῦ ἔχουσιν.

[00055] Τῶν κρατουμένων ἔτι ὑπὸ τοῦ θανάτου.

[00056] Ἐγκατέλιπες.

[00057] Τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν.

[00058] Σαυτῷ, φησὶ, πρόξενος ἐγένου τῶν παρόντων κακῶν.

[00059] Δέον γάρ σε ποδηγῷ χρήσασθαι τῷ νόμῳ, ὃν ἡ τῆς σοφίας πηγὴ προσενήνοχεν, ματαίοις ἠκολούθησας λογισμοῖς.

[00060] Τῇ ὁδῷ τοῦ Θεοῦ.

[00061] Ὁ Κύριός φησιν·

[00062] Ἐγώ εἰμι ἡ ὁδός.

[00063] Ὁ οὖν κατὰ μίμησιν αὐτοῦ πορευόμενος, τῇ ὁδῷ αὐτοῦ πορεύεται.

[00064] Μάθε ποῦ ἐστι φρόνησις.

[00065] Ἐπειδὴ τῷ γράμματι κεκόλλησαι, μάθε ὅτι ἐν ἁγίῳ Πνεύματι ἐστὶν ἡ φρόνησις.

[00066] Ποῦ ἐστιν ἰσχύς.

[00067] Νῦν γοῦν, ἐπειδήπερ οὐ πρό [93.765] τερον, ζήτησον καὶ γνώσῃ, τίς τούτων χορηγὸς τῶν ἀγαθῶν.

[00068] Ποῦ ἐστι σύνεσις.

[00069] Ἡ κατὰ τῆς ἁμαρτίας.

[00070] Ποῦ ἐστι μακροβίωσις καὶ ζωή.

[00071] Τοῦ διακρῖναι τὸ ἀγαθὸν ἐκ τοῦ φαύλου.

[00072] Ποῦ ἐστι φῶς.

[00073] Ἐν τῷ Κυρίῳ, δηλονότι.

[00074] Ὁ γὰρ πιστεύων εἰς ἐμὲ, φησὶν, οὐ μὴ ἀποθάνῃ εἰς τὸν αἰῶνα.

[00075] Ὁ γὰρ Κύριός φησιν·

[00076] Ἐγώ εἰμι τὸ φῶς τοῦ κόσμου, καὶ ὁ Ἀπόστολός φησιν·

[00077] Αὐτός ἐστιν ἡ εἰρήνη ἡμῶν.

[00078] Τίς εὗρε τὸν τόπον αὐτῆς;

[00079] Ὅτι ἀνεξερεύνητα τὰ κρίματα τοῦ Θεοῦ, καὶ ἀνεξιχνίαστοι αἱ ὁδοὶ αὐτοῦ.

[00080] Καὶ τίς εἰσῆλθεν εἰς θησαυροὺς αὐτῆς;

[00081] Τίς κατέλαβε τὰ κρίματα τοῦ Θεοῦ;

[00082] Ποῦ εἰσιν οἱ ἄρχοντες τῶν ἐθνῶν;

[00083] Οἱ σοφοὶ τοῦ αἰῶνος τούτου, οἳ καὶ ἐκυρίευσαν τῶν θηριοτρόπων ἀνθρώπων.

[00084] Ἐν τοῖς ὀρνέοις τοῦ οὐρανοῦ ἐμπαίζοντες.

[00085] Οἰωνοσκοποῦντες.

[00086] Καὶ ἐπειδὴ ἡ σοφία αὐτῶν ἐπίγειός ἐστιν, ψυχικὴ, δαιμονιώδης.

[00087] Καὶ τὸ ἀργύριον.

[00088] Πᾶσα γὰρ ἡ σοφία αὐτῶν ἐν πλεονεξίᾳ.

[00089] Ὅτι οἱ τὸ ἀργύριον τεκταίνοντες.

[00090] Οἳ τὸ ἀργύριον διὰ ποικίλων προσώπων καρπούμενοι.

[00091] Καὶ οὐκ ἔστιν ἐξεύρεσις τῶν ἔργων αὐτῶν.

[00092] Διότι σκότους μετέχουσιν.

[00093] Καὶ ἄλλοι ἀνέστησαν.

[00094] Οἷς ὁ νόμος ἐπιστεύθη, καὶ οὐδὲ αὐτοὶ ἐφύλαξαν, οὗτοί εἰσιν οἱ ἀναστάντες ἀντὶ τῶν ἐπὶ εἰδωλολατρείᾳ σοφῶν.

[00095] Νεώτεροι εἶδον φῶς.

[00096] Οἱ ταῖς σαρκικαῖς πράξεσι μὴ καθελκόμενοι, εἶδον φῶς, τουτέστι τὴν γνῶσιν τοῦ Θεοῦ.

[00097] Καὶ κατῴκησαν ἐπὶ τῆς γῆς.

[00098] Ἐπὶ τοῖς μαθήμασι τῆς νομοθεσίας.

[00099] Ὁδὸν ἐπιστήμης οὐκ ἔγνωσαν.

[00100] Καθὼς ὁ Κύριός φησιν, Εἰ ἐπιστεύετε Μωϋσεῖ, ἐπιστεύετε ἂν ἐμοί.

[00101] Οὐδὲ συνῆκαν.

[00102] Τὴν ποικίλην διδασκαλίαν.

[00103] Οὐδὲ ἀντελάβοντο αὐτῆς.

[00104] Καθὼς ὁ εὐαγγελιστὴς Ἰωάννης φησίν·

[00105] Εἰς τὰ ἴδια ἦλθε, καὶ οἱ ἴδιοι αὐτὸν οὐ παρέλαβον.

[00106] Οἱ υἱοὶ δὲ, τῶν νομοθετῶν δηλονότι.

[00107] Ἀπὸ τῆς ὁδοῦ αὐτῶν πόῤῥω ἐγενήθησαν.

[00108] Διώκοντες γὰρ νόμον δικαιοσύνης, εἰς νόμον οὐκ ἔφθασαν.

[00109] Οὐδὲ ἠκούσθη.

[00110] Ἴσοι τούτοις ἐθνικοῖς ἐκρίθησαν τοῖς μὴ ἀκούσασι τοῦ νόμου, οἱ μόνῳ τῷ γράμματι τοῦ νόμου ἀκολουθήσαντες.

[00111] Βλέποντες γὰρ οὐ βλέπουσι, καὶ ἀκούοντες οὐκ ἀκούουσιν.

[00112] Οὔτε υἱοὶ Ἄγαρ.

[00113] Οἱ τῆς παλαιᾶς διαθήκης ἐγγόνοι, περὶ ὧν συμφώνως φησὶν ὁ Ἀπόστολος·

[00114] [93.768] Ἀγνοοῦντες γὰρ τὴν τοῦ Θεοῦ δικαιοσύνην, καὶ τὴν ἰδίαν ζητοῦντες στῆσαι, τῇ δικαιοσύνῃ τοῦ Θεοῦ οὐχ ὑπετάγησαν.

[00115] Οἱ ἔμποροι τῆς Μεῤῥάν.

[00116] Ἐμπόρους αὐτούς φησι διὰ τὸ ἀπειρεῖν γεωργίας.

[00117] Ταχθέντες γὰρ ἀμπελουργοὶ, ἀντὶ σταφυλῆς ἀκάνθας ἐτρύγησαν.

[00118] Μεῤῥὰν δὲ καὶ Θαιμὰν βάρβαρα φῦλα, εἰς ἃ ἐμπορεύονται, ἅπερ εἰσὶν οἱ θηριώδεις τρόποι, οἱ τῇ ματαιότητι τοῦ βίου τούτου συγκαθελκόμενοι.

[00119] Καὶ οἱ μυθολόγοι.

[00120] Οἳ ἀντὶ ἐντολῆς καὶ κριμάτων Θεοῦ, βαπτισμοὺς ποτηρίων καὶ ξεστῶν ἐμυθολόγησαν.

[00121] Ἔτι δὲ καὶ τὴν κρίσιν, καὶ τὸ ἔλεος.

[00122] καὶ τὴν πίστιν ἀπωθούμενοι, πήγανα καὶ ἡδύοσμα ἀπεδεκάτωσαν.

[00123] Καὶ οἱ ἐκζητηταί.

[00124] Οἱ ἐκζητοῦντες μὲν, μὴ εἰδότες δὲ συνετῶς τὴν ζήτησιν ποιεῖσθαι.

[00125] Ὁδὸν δὲ σοφίας οὐκ ἔγνωσαν.

[00126] Τὸν Κύριον δηλονότι.

[00127] Οὐδὲ ἐμνήσθησαν τὰς τρίβους αὐτῆς.

[00128] Τοὺς τρόπους τῆς διδασκαλίας.

[00129] Ὦ Ἰσραὴλ, ὡς μέγας ὁ οἶκος τοῦ Θεοῦ.

[00130] Ἡ Ἐκκλησία, καὶ ὁ τοῦ μυστηρίου λόγος.

[00131] Ἐπειδὴ νῦν ἐκ μέρους γινώσκομεν, καὶ οὔπω τῆς γνώσεως τὸ τέλειον.

[00132] Τόπον δὲ καλεῖ τὴν εὐσέβειαν·

[00133] ἐπιμήκη δὲ διὰ τὴν ἀεὶ ἐπὶ τὸ κρεῖττον αὔξησιν.

[00134] Ὁ τόπος τῆς κτήσεως.

[00135] Ὅτι ἐπουρανίου βασιλέως μυστήρια περιέχει.

[00136] Ἐκεῖ ἐγενήθησαν οἱ γίγαντες.

[00137] Περὶ τῶν δαιμόνων φησὶν, ὅτι ἀπ' ἀρχῆς μετὰ τῶν ἀγγέλων ταγέντες, ἐξ ἀβουλίας τῶν οὐρανίων ἀψίδων ἐκβέβληνται.

[00138] Ὀνομαστοὶ δὲ, ἐπειδὴ προκατηγγέλθη περὶ αὐτῶν·

[00139] εὐμεγέθεις δὲ, ὡς ὑπέρογκοι.

[00140] Ἐπιστάμενοι πόλεμον.

[00141] Τῆς γὰρ εἰρήνης τοῦ Χριστοῦ ἀνάξιοι ὄντες, πόλεμον ἤσκησαν οἵτε δαίμονες, καὶ οἱ αἱρετικοί.

[00142] Τίς ἀνέβη εἰς τὸν οὐρανόν;

[00143] Καθὼς γέγραπται·

[00144] Οὐχ ὅτι ἡμεῖς ἠγαπήσαμεν τὸν Θεὸν, ἀλλ' ὅτι αὐτὸς ἠγάπησεν ἡμᾶς καὶ ἀγαπήσας ἔκλινεν οὐρανοὺς καὶ κατέβη.

[00145] Τίς διέβη.

[00146] Ὁ Κύριος εἰπὼν, Θαρσεῖτε, ἐγὼ νενίκηκα τὸν κόσμον.

[00147] Μόνος γὰρ αὐτὸς διέβη τὴν ἁμαρτίαν.

[00148] Τὸ δὲ, Εὗρεν αὐτὴν, ἀντὶ τοῦ, Ὑπέδειξεν ἡμῖν εὑρεῖν αὐτήν.

[00149] Καὶ οἴσει αὐτήν.

[00150] Ὅτι ἀτίμητος ἡ σοφία.

[00151] Πρὸς δὲ διάνοιαν, χρυσίον ἐκλεκτὸν ἡ πίστις, δι' ἧς γινώσκομεν τὸν Υἱόν.

[00152] Οὐκ ἔστιν ὁ γινώσκων τὴν ὁδὸν αὐτῆς.

[00153] Εἴ τις γὰρ δοκεῖ ἐγνωκέναι τι, οὔπω ἔγνω καθὼς δεῖ γνῶναι.

[00154] Τὴν τρίβον αὐτῆς.

[00155] Τὰς διδασκαλίας, τὰς προφητείας.

[00156] Ἀλλ' ὁ εἰδὼς τὰ πάντα.

[00157] Μόνος γὰρ ὁ Πατὴρ γινώσκει τὸν Υἱόν.

[00158] Ἐξεῦρεν αὐτήν.

[00159] Ἐφανέρωσεν δὲ αὐτὸν καὶ ἡμῖν διὰ τοῦ σοφοῦ τῆς ἐνανθρωπήσεως μυστηρίου.

[00160] Ὁ κατασκευάσας.

[00161] Πρὸς μὲν τὸ ῥητὸν, ὅτι διὰ [93.769] τοῦ ἐνανθρωπήσαντος λόγου τὰ πάντα κατεσκευάσθη.

[00162] Πρὸς δὲ διάνοιαν, γῆν τὴν γνῶσιν τῆς εὐσεβείας.

[00163] Ἐνέπλησεν.

[00164] Ἀγαθοὺς δὲ καὶ πονηροὺς ἐκάλεσεν εἰς τοὺς γάμους ὁ Κύριος.

[00165] Κτήνη δὲ λέγει, τοὺς πρὸ τούτου κτήνεσιν ἀνοήτοις συμβληθέντας.

[00166] Οἱ δὲ ἀστέρες.

[00167] Τοὺς ἀποστόλους πρὸς οὓς εἶπεν, Ὑμεῖς ἐστε τὸ φῶς τοῦ κόσμου.

[00168] Ἐκάλεσεν αὐτούς.

[00169] Ἐν τοῖς δεδομένοις αὐτοῖς χαρίσμασι διαλάμψαντες ἐχάρησαν.

[00170] Οὗτος ὁ Θεός.

[00171] Οἱ τὴν ἀποστολικὴν κλῆσιν προθύμως ὑπακούσαντες, καὶ ἐπιθυμίαν ἔχοντες ἀναλῦσαι, καὶ σὺν Χριστῷ εἶναι, καὶ μηδὲν προτιμῶντες τοῦ ποιῆσαι τὸ προσταττόμενον.

[00172] Ο δι' ἡμᾶς γεγονὼς ἄνθρωπος, τοῦ Πατρὸς γεγονὼς Λόγος, καὶ ἐπὶ γῆς ὀφθεὶς, καὶ τοῖς ἀνθρώποις συναναστραφείς.

[00173] Καὶ ἔδωκεν αὐτήν.

[00174] Ὅτι πᾶσα πνευματικὴ ἐπιστήμη ἄγουσα πρὸς οὐρανὸν αὐτοῦ [ἴσ.

[00175] ὑπ' αὐτοῦ] κατεργάζεται.

[00176] Μετὰ τοῦτο ἐπὶ τῆς γῆς ὤφθη.

[00177] Καὶ γὰρ κατὰ τάξιν τὸ ἓν καὶ τὸ αὐτὸ μυστήριον ἔλαμψε, νομικῶς, προφητικῶς, εὐαγγελικῶς.

[00178] ΚΕΦ. Δʹ.

[00179] Αὕτη ἡ βίβλος.

[00180] Ἡ διὰ τῶν Εὐαγγελίων τοῦ μυστηρίου ποικίλη γνῶσις, ἡ καὶ διαιωνίζουσα.

[00181] Διόδευσον.

[00182] Αὐτὸς γὰρ καλεῖ λέγων·

[00183] Δεῦτε πρός με πάντες οἱ κοπιῶντες καὶ πεφορτισμένοι, κἀγὼ ἀναπαύσω ὑμᾶς.

[00184] Μακάριοί ἐσμεν.

[00185] Παρορμᾷ τοὺς ἐξ Ἰσραὴλ προαρπάσαι τὴν χάριν.

[00186] Ἐπειδὴ καὶ αὐτοῖς ἦν ἀναγκαῖον πρῶτον ἀναγγεῖλαι τὸν λόγον τοῦ Θεοῦ.

[00187] Ο πνευματικὸς Ἰσραὴλ ταῦτα φησίν·

[00188] πρὸς οὓς φησιν ὁ Σωτήρ·

[00189] Ὑμῶν δὲ μακάριοι οἱ ὀφθαλμοὶ, ὅτι βλέπουσι, καὶ τὰ ὦτα ὑμῶν, ὅτι ἀκούουσιν.

[00190] Θαρσεῖτε, λαός μου.

[00191] Ὢ παρ' ἐμοῦ μνημονευόμενε Ἰσραήλ.

[00192] Ἐπράθητε.

[00193] Εἰ γὰρ διὰ τὴν ἁμαρτίαν ἔσχε τὸ καθ' ἡμῶν χειρόγραφον ὁ διάβολος, ἀλλ' ὁ Χριστὸς ἡμᾶς τῷ ἰδίῳ αἵματι ἐξηγοράσατο.

[00194] Ἐπελάθεσθε δέ.

[00195] Ὅτι λόγῳ θείῳ τραφέντες ὡς λογικοὶ, εἰς ἀλογίαν καταπεπτώκαμεν.

[00196] Ἀκούσατε, αἱ πάροικοι Σιών.

[00197] Τὰς παροίκους καλεῖ πρὸς τὴν θέαν τοῦ πένθους, τῷ παραδείγματι σωφρονεστέρας αὐτὰς ἀπεργασομένη.

[00198] Ως πρὸς τὰς ὑπηκόους πόλεις ὁ λόγος.

[00199] Μηδεὶς ἐπιχαιρέτω μοι τῇ χήρᾳ.

[00200] Καλεῖ δὲ αὐτὴν χήραν, ὡς ἔρημον τῆς θείας κηδεμονίας, τὴν μόνην ἠρεμοῦσαν [ἐρημωθεῖσαν], τὴν νῦν μόνην δηλονότι·

[00201] ἢ, εἰ μὴ τοῦτο, ὡς μόνην ἐσχηκυῖαν τὸν θεῖον νεών·

[00202] ἢ ὡς μόνην ὑπὸ Ἀσσυρίων περιλειφθεῖσαν ἀνάλωτον [ἴσ.

[00203] ἄτεκ.] Εἰ γὰρ καὶ Παιδεύων ἐπαίδευσέ με ὁ Κύριος, ἀλλὰ τῷ θανάτῳ οὐ παρέδωκέ με.

[00204] Χήρα δὲ κυρίως ἐκλήθη ἡ Συναγωγὴ τότε, ὅτε εἰς τὸν ἑαυτῆς νυμφίον Χριστὸν ἐξυβρίσασα ἐγκατελείφθη.

[00205] [93.772] Ἐλθέτωσαν αἱ πάροικοι Σιών.

[00206] Αἱ τῆς παροικίας τοῦ αἰῶνος τούτου μάταιαι δόξαι.

[00207] Ἐπήγαγε γὰρ ἐπ' αὐτοὺς ἔθνος.

[00208] Ὁ Θεὸς ἐμάκρυνε τὰς ἀνομίας ἡμῶν ἀφ' ἡμῶν, ἡμεῖς δὲ αὐτὰς ἑαυτοῖς ἐπεσπασάμεθα, καὶ δι' αὐτῶν τιμωρούμεθα.

[00209] Λέγεται δὲ αὐτὸς ἐπάγειν, διὰ τὸ ἄνευ συγχωρήσεως Θεοῦ μηδὲν γίνεσθαι.

[00210] Ἔθνος ἀναιδές.

[00211] Πρῶτον τὸ Βαβυλώνιον, ὕστερον καὶ τὸ Ῥωμαίων.

[00212] Δύναται δὲ τοῦτο νοεῖσθαι καὶ περὶ τῶν τὴν ψευδώνυμον γνῶσιν διὰ σοφιστικῆς ἀπάτης διδασκόντων.

[00213] Ἐγὼ δὲ τί δυνατὴ βοηθῆσαι ὑμῖν, Ὅτι ἄνευ οἰκτιρμῶν Θεοῦ ψυχὴν σωθῆναι ἀδύνατον.

[00214] Ἐξελεῖται ὑμᾶς.

[00215] Προτρέπεται αὐτοὺς εἰς τὴν διὰ τῆς μάστιγος παιδείαν.

[00216] Ἐγὼ δὲ κατελείφθην.

[00217] Ἀπουσίᾳ Θεοῦ.

[00218] Καὶ εἰ μὲν οἱ ἅγιοι ταῦτα λέγουσιν, οἰκειούμενοι τὰ τῶν ἁμαρτωλῶν λέγουσιν·

[00219] Εἰ δὲ ἡ τῶν Ἰουδαίων Συναγωγὴ, ὅτε διὰ τὴν εἰς Χριστὸν ὕβριν ἤκουσεν·

[00220] Ἰδοὺ ἀφίεται ὑμῖν ὁ οἶκος ἡμῶν ἔρημος.

[00221] Εἰ δὲ ἡ πόλις, διὰ τὴν τῶν οἰκητόρων ἐρημίαν.

[00222] Ἐξεδυσάμην τὴν στολὴν τῆς εἰρήνης.

[00223] Τὴν λαμπρότητα, ἣν εἶχεν εἰρηνεύουσα πρὸς τὸν Θεόν.

[00224] Σάκκον τῆς δεήσεώς μου.

[00225] Πενθοῦσα ἐπὶ τοῖς ἡμῶν ἁμαρτήμασιν, καὶ δεομένη Θεοῦ.

[00226] Καὶ ἦλθέ μοι.

[00227] Τὴν διὰ τοῦ Σωτῆρος Χριστοῦ προβλέπει ἀπολύτρωσιν, καὶ ταύτην προλέγει.

[00228] Ἣ ἐπελεύσεται.

[00229] Ἡ γὰρ διὰ Χριστοῦ ἀπολύτρωσις λαμπρότερον, ἢ κατὰ τὴν ἐξ ἀρχῆς πλάσιν τὸ γένος ἡμῶν ἀπέδειξεν.

[00230] Καὶ ὄψει αὐτοῦ τὴν ἀπώλειαν.

[00231] Ἥτις γέγονε τῷ διαβόλῳ διὰ τοῦ τιμίου σταυροῦ.

[00232] Καὶ ἐπὶ τραχήλους.

[00233] Ἰδοὺ γάρ φησι·

[00234] Δέδωκα ὑμῖν ἐξουσίαν τοῦ πατεῖν ἐπάνω ὄφεων καὶ σκορπίων, καὶ ἐπὶ πᾶσαν τὴν δύναμιν τοῦ ἐχθροῦ.

[00235] Οἱ τρυφεροί μου.

[00236] Οἱ κατὰ τὴν ἐξ ἀρχῆς δημιουργίαν τρυφεροὶ καὶ εὐβαφεῖς γενόμενοι, τὰς ἀνωμάλους, καὶ τραχείας ὁδοὺς ἐπορεύθησαν.

[00237] Θάρσει, Ἱερουσαλήμ.

[00238] Ὁ Θεὸς Λόγος, ὁ δι' ἡμᾶς ἐνανθρωπήσας, ὁ νύμφην ἑαυτοῦ τὴν Ἐκκλησίαν ἀξιώσας καλέσαι.

[00239] Δείλαιοι οἱ σὲ κακώσαντες.

[00240] Δαίμονες, αἱρετικοὶ, οἱ κατὰ καιρὸν τὴν Ἐκκλησίαν διώξαντες.

[00241] Δείλαιαι αἱ πόλεις.

[00242] Τὰ ὀχυρώματα τῶν κακῶν, αἱ κατασκευαὶ τῶν δαιμόνων.

[00243] Οὕτως λυπηθήσεται.

[00244] Ἡ εἰδωλολατρεία καὶ τῶν Ἰουδαίων ἡ Συναγωγή.

[00245] Καὶ περιελῶ αὐτῆς.

[00246] Τῆς τὴν Ἐκκλησίαν διωξάσης Συναγωγῆς, καὶ τῆς ποικίλης τῶν κακῶν ἐφόδου.

[00247] Πῦρ γὰρ ἐπελεύσεται.

[00248] Ἀντὶ τοῦ, ἕως ὅτε ἐπέστρεψεν·

[00249] διὸ καὶ τὸν πλείονα χρόνον εἶπεν.

[00250] [93.773] Περίβλεψον.

[00251] Πρὸς τὸν τῆς δικαιοσύνης ἥλιον, τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν.

[00252] ΚΕΦ. Ε΄.

[00253] Ἔκδυσαι, Ἱερουσαλήμ.

[00254] Τὸν παλαιὸν ἄνθρωπον σὺν ταῖς ἐπιθυμίαις αὐτοῦ.

[00255] Καὶ ἔνδυσαι.

[00256] Ὅσοι εἰς Χριστὸν ἐβαπτίσθησαν, Χριστὸν ἐνεδύσαντο.

[00257] Περιβαλοῦ.

[00258] Ταῦτα τῆς παλαιᾶς καὶ καινῆς διαθήκης διδάγματα.

[00259] Ἄλλως·

[00260] τὴν πρακτικὴν, καὶ θεωρητικὴν ἀρετήν.

[00261] Ἐπίθου τὴν μίτραν.

[00262] Τὸν σταυρὸν τοῦ Χριστοῦ, τὸν ἐν τῷ μετώπῳ τῶν πιστῶν τυπούμενον.

[00263] Ἢ καὶ αὐτὸν τὸν Κύριον·

[00264] κεφαλὴ γὰρ τῆς Ἐκκλησίας ὁ Χριστός.

[00265] Κληθήσεται γάρ σου ὄνομα.

[00266] Τῆς νέας Ἱερουσαλὴμ τὰ γνωρίσματα.

[00267] Δικαιοσύνης δὲ προσέθηκεν.

[00268] Ἐπειδὴ γὰρ ἔστιν ἁμαρτωλῶν εἰρήνη κατὰ τὸν Δαβὶδ, διὸ καὶ ὁ Σωτήρ·

[00269] Εἰρήνην, λέγει, τὴν ἐμὴν δίδωμι ὑμῖν.

[00270] Ως μηκέτι δυναμένης τῆς ἐφόδου τῶν ἐχθρῶν τὴν εἰρήνην τὴν τῆς δικαιοσύνης διασπᾶσαι, μηδὲ καταλῦσαι τῆς θεοσεβείας τὴν δόξαν.

[00271] Ἄλλως·

[00272] Ἐπειδὴ ἡ εἰρήνη ἡμῶν ὁ Χριστὸς, καὶ αὐτός ἐστιν ἡ δικαιοσύνη ἡμῶν καὶ ἡ δόξα, καὶ αὐτός ἐστιν ὁ τῆς κατὰ θεοσέβειαν πολιτείας ἡμῶν ὑπογραμμὸς, ἐξ αὐτοῦ καὶ ἡμεῖς καλούμεθα.

[00273] Ἀνάστηθι, Ἱερουσαλήμ.

[00274] Ἐπὶ ὑψηλῆς πολιτείας, ἐπὶ τοῦ εὐαγγελικοῦ κηρύγματος.

[00275] Ἐξῆλθον γάρ.

[00276] Τὸ σχῆμα πενθῆρες, ὡς δηλοῖ Δαβὶδ, φεύγων τὸν Ἀβεσαλώμ.

[00277] Πένθους δὲ ἄξια ἔπραττον οἱ δαιμονίοις δουλεύοντες, καὶ ταῖς ποικίλαις αὐτῶν ἀγόμενοι ἐπιθυμίαις.

[00278] Ὡς υἱοὺς βασιλείας.

[00279] Αἰρομένους μὲν ὑπὸ ἁγίων ἀγγέλων, παραπεμπομένους δὲ διὰ τῆς εἰς Χριστὸν πίστεως εἰς τὴν τῶν οὐρανῶν βασιλείαν.

[00280] Συνέταξε ...

[00281] ταπεινοῦσθαι πᾶν ὄρος ὑψηλόν.

[00282] Πᾶν ὕψωμα ἐπαιρόμενον κατὰ τῆς γνώσεως τοῦ Θεοῦ.

[00283] Καὶ θῖνας ἀεννάους.

[00284] Τοὺς ἐξ ἀρχῆς ἀπ' αἰῶνος πολεμοῦντας ἡμᾶς δαίμονας.

[00285] Καὶ φάραγγας πληροῦσθαι.

[00286] Τὰς κατατομὰς τῶν ψευδοχρίστων εἰς ὁμόνοιαν φέρεσθαι.

[00287] Ἄλλως·

[00288] τὰς πάλαι κοίλας καὶ γεώδεις ψυχὰς, δι' ἔργων ἀγαθῶν πληροῦσθαι, τῶν σκανδάλων περιαιρεθέντων.

---

**© 2006 Cooperatorum Veritatis Societas quoad hanc editionem iura omnia asservantur.**
**0900-1000 - Olympiodus Alexandrinus Diaconus - Commentarii in Baruch**
**Litterarum Omnium Conspectus: 137 Litterae, quae repetitae sunt in 10,483 occasionibus**

---

| | | | | | |
|---|---|---|---|---|---|
| α | 0945 | 742 | Α | 0913 | 9 |
| β | 0946 | 54 | Β | 0914 | 9 |
| γ | 0947 | 196 | Γ | 0915 | 1 |
| δ | 0948 | 203 | Δ | 0916 | 0 |
| ε | 0949 | 536 | Ε | 0917 | 20 |
| ζ | 0950 | 17 | Ζ | 0918 | 0 |
| η | 0951 | 181 | Η | 0919 | 0 |
| θ | 0952 | 139 | Θ | 0920 | 28 |
| ι | 0953 | 479 | Ι | 0921 | 1 |
| κ | 0954 | 301 | Κ | 0922 | 53 |
| λ | 0955 | 233 | Λ | 0923 | 4 |
| μ | 0956 | 291 | Μ | 0924 | 9 |
| ν | 0957 | 848 | Ν | 0925 | 5 |
| ξ | 0958 | 45 | Ξ | 0926 | 0 |
| ο | 0959 | 671 | Ο | 0927 | 28 |
| π | 0960 | 268 | Π | 0928 | 26 |
| ρ | 0961 | 371 | Ρ | 0929 | 0 |
| ς | 0962 | 470 | • | 0930 | 0 |
| σ | 0963 | 402 | Σ | 0931 | 14 |

| | | | | | |
|---|---|---|---|---|---|
| τ | 0964 | 747 | Τ | 0932 | 35 |
| υ | 0965 | 189 | Υ | 0933 | 3 |
| φ | 0966 | 80 | Φ | 0934 | 5 |
| χ | 0967 | 65 | Χ | 0935 | 17 |
| ψ | 0968 | 17 | Ψ | 0936 | 1 |
| ω | 0969 | 135 | Ω | 0937 | 2 |
| ῤ | 8164 | 3 | | | 0 |
| ῥ | 8165 | 5 | Ῥ | 8172 | 1 |

| | | | | | | | | | | | | | | | | | | | | |
|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|
| ά | 8049 | 83 | έ | 8051 | 92 | ή | 8053 | 75 | ί | 8055 | 164 | ό | 8057 | 123 | ύ | 8059 | 88 | ώ | 8061 | 35 |
| ὰ | 8048 | 96 | ὲ | 8050 | 46 | ὴ | 80852 | 84 | ὶ | 8054 | 158 | ὸ | 8056 | 109 | ὺ | 8058 | 25 | ὼ | 8060 | 12 |
| ᾶ | 8118 | 18 | | | 0 | ῆ | 8134 | 82 | ῖ | 8150 | 66 | | | 0 | ῦ | 8166 | 117 | ῶ | 8182 | 107 |
| ἀ | 7936 | 92 | ἐ | 7952 | 143 | ἠ | 7968 | 5 | ἰ | 7984 | 69 | ὀ | 8000 | 8 | ὐ | 8016 | 94 | ὠ | 8032 | 2 |
| ἁ | 7937 | 11 | ἑ | 7953 | 7 | ἡ | 7969 | 54 | ἱ | 7985 | 46 | ὁ | 8001 | 37 | ὑ | 8017 | 20 | ὡ | 8033 | 10 |
| ἂ | 7938 | 1 | ἒ | 7954 | 1 | ἢ | 7970 | 5 | ἲ | 7986 | 0 | ὂ | 8002 | 0 | ὒ | 8018 | 0 | ὢ | 8034 | 0 |
| ἃ | 7939 | 1 | ἓ | 7955 | 0 | ἣ | 7971 | 0 | ἳ | 7987 | 3 | ὃ | 8003 | 1 | ὓ | 8019 | 1 | ὣ | 8035 | 0 |
| ἄ | 7940 | 11 | ἔ | 7956 | 27 | ἤ | 7972 | 2 | ἴ | 7988 | 9 | ὄ | 8004 | 7 | ὔ | 8020 | 5 | ὤ | 8036 | 2 |
| ἅ | 7941 | 2 | ἕ | 7957 | 1 | ἥ | 7973 | 2 | ἵ | 7989 | 5 | ὅ | 8005 | 11 | ὕ | 8021 | 8 | ὥ | 8037 | 0 |
| ἆ | 7942 | 0 | | | 0 | ἦ | 7974 | 7 | ἶ | 7990 | 10 | | | 0 | ὖ | 8022 | 3 | ὦ | 8038 | 3 |
| ἇ | 7943 | 0 | | | 0 | ἧ | 7975 | 1 | ἷ | 7991 | 2 | | | 0 | ὗ | 8023 | 4 | ὧ | 8039 | 1 |
| ᾀ | 8064 | 0 | | | 0 | ᾐ | 8080 | 0 | | | 0 | | | 0 | ῧ | 8167 | 0 | ᾠ | 8096 | 0 |
| ᾁ | 8065 | 0 | | | 0 | ᾑ | 8081 | 0 | | | 0 | | | 0 | ΰ | 8163 | 0 | ᾡ | 8097 | 0 |
| ᾂ | 8066 | 0 | | | 0 | ᾒ | 8082 | 0 | | | 0 | | | 0 | | | 0 | ᾢ | 8098 | 0 |
| ᾃ | 8067 | 0 | | | 0 | ᾓ | 8083 | 0 | | | 0 | | | 0 | | | 0 | ᾣ | 8099 | 0 |
| ᾄ | 8068 | 0 | | | 0 | ᾔ | 8084 | 0 | | | 0 | | | 0 | | | 0 | ᾤ | 8100 | 0 |
| ᾅ | 8069 | 0 | | | 0 | ᾕ | 8085 | 0 | | | 0 | | | 0 | | | 0 | ᾥ | 8101 | 0 |
| ᾆ | 8070 | 0 | | | 0 | ᾖ | 8086 | 0 | | | 0 | | | 0 | | | 0 | ᾦ | 8102 | 0 |
| ᾇ | 8071 | 0 | | | 0 | ᾗ | 8087 | 0 | | | 0 | | | 0 | | | 0 | ᾧ | 8103 | 0 |
| ᾳ | 8115 | 7 | | | 0 | ῃ | 8131 | 7 | | | 0 | | | 0 | | | 0 | ῳ | 8179 | 15 |
| ᾴ | 8116 | 0 | | | 0 | ῄ | 8132 | 0 | | | 0 | | | 0 | | | 0 | ῴ | 8180 | 1 |
| ᾷ | 8119 | 1 | | | 0 | ῇ | 8135 | 7 | | | 0 | | | 0 | | | 0 | ῷ | 8183 | 27 |

Ceterae infrequentes vel rarissimae Litterae expositae non sunt

© 2006 Cooperatorum Veritatis Societas quoad hanc editionem iura omnia asservantur.

**0900-1000 - Olympiodus Alexandrinus Diaconus - Commentarii in Baruch**

**Verborum Omnium Conspectus: 1,057Verba, quae repetita sunt in 3,094,724 occasionibus**

**ἃ** [00118]
**Α** [00001]
**ἀΐδιος** [00039]
**Ἀβεσαλώμ** [00276]
**ἀβουλίας** [00137]
**ἀγαθὸν** [00071]
**Ἀγαθοὺς** [00164]
**ἀγαθῶν** [00067] [00288]
**ἀγαπήσας** [00144]
**Ἄγαρ** [00112]
**ἀγγέλων** [00137] [00279]
**ἅγιοι** [00218]
**ἁγίοις** [00028]
**ἁγίῳ** [00065]
**ἁγίων** [00279]
**Ἀγνοοῦντες** [00114]
**ἀγνωσίαν** [00054]
**ἀγόμενοι** [00277]
**ἄγουσα** [00174]
**ἀδύνατον** [00213]
**ἀεὶ** [00028] [00133]
**ἀεννάους** [00283]
**ἀθάνατον** [00042]
**Αἱ** [00206]
**αἱ** [00017] [00079] [00196] [00205] [00241] [00242]
**Αἰγύπτου** [00044]
**αἵματι** [00193]
**αἱρετικοὶ** [00240]
**αἱρετικοί** [00141]
**Αἰρομένους** [00279]
**αἰσθητῶς** [00034]
**αἰσχύνη** [00022]
**αἰτίας** [00024]
**αἰχμαλωσίᾳ** [00022]
**αἰχμαλώτων** [00050]
**αἰῶνα** [00038] [00074]
**αἰῶνος** [00083] [00206] [00284]
**ἀκάνθας** [00117]
**ἀκολουθήσαντες** [00110]
**Ἄκουε** [00048]
**ἀκούοντες** [00111]
**ἀκούουσιν** [00111] [00189]
**ἀκούσασι** [00110]
**Ἀκούσατε** [00196]
**ἄκουσον** [00040]
**ἀκρόασιν** [00011]
**ἀλλ** [00005] [00006] [00013] [00028] [00144] [00193]
**Ἀλλ** [00156]
**ἀλλὰ** [00203]
**Ἀλλὰ** [00030] [00043]
**ἀλλαχοῦ** [00014]
**ἄλλοι** [00093]
**Ἄλλως** [00259] [00271] [00287]
**ἀλογίαν** [00195]
**ἁμαρτήμασιν** [00225]
**ἁμαρτίαν** [00041] [00147] [00193]
**ἁμαρτίας** [00032] [00069]
**ἁμαρτωλῶν** [00218] [00268]
**ἀμαυρούμενοι** [00034]
**ἀμπελουργοὶ** [00117]
**ἂν** [00100]
**ἀναγγεῖλαι** [00186]
**ἀναγκαῖον** [00186]
**ἀναιδές** [00210]
**ἀναλῦσαι** [00171]
**ἀνάλωτον** [00202]
**ἀνάξιοι** [00141]
**ἀναπαύσω** [00183]
**ἀναπλάττοντες** [00024]
**ἀναστάντες** [00094]
**Ἀνάστηθι** [00273]
**ἀνέβη** [00142]
**ἀνεξερεύνητα** [00079]
**ἀνεξιχνίαστοι** [00079]
**ἀνέστησαν** [00093]
**ἄνευ** [00209] [00213]
**ἀνθρώποις** [00172]
**ἄνθρωπον** [00254]
**ἄνθρωπος** [00172]
**ἀνθρώπων** [00083]
**ἀνοήτοις** [00165]
**ἀνοίσατε** [00012]
**ἀνομίας** [00208]
**ἀντελάβοντο** [00103]
**ἀντὶ** [00094] [00117] [00120] [00148]
**Ἀντὶ** [00011] [00248]
**ἀνωμάλους** [00236]
**ἄξια** [00277]
**ἀξιολόγων** [00003]
**ἀξίως** [00047]
**ἀξιώσας** [00238]
**ἀπ** [00137] [00284]
**ἀπάτης** [00212]
**ἀπέδειξεν** [00229]
**ἀπεδεκάτωσαν** [00122]
**ἀπειρεῖν** [00116]
**ἅπερ** [00118]
**ἀπεργασομένη** [00197]
**ἀποθάνῃ** [00074]
**ἀποικίᾳ** [00046]
**ἀπολύτρωσιν** [00227]
**ἀπολύτρωσις** [00229]

**ἀποστολικὴν** [00171]
**Ἀπόστολός** [00076]
**Ἀπόστολος** [00113]
**ἀποστόλους** [00167]
**Ἀπουσίᾳ** [00217]
**ἀπόφασιν** [00041]
**ἀπωθούμενοι** [00122]
**ἀπώλειαν** [00230]
**ἀργύριον** [00087] [00089] [00090]
**ἀρετήν** [00260]
**ἄρχεται** [00049]
**ἀρχῆς** [00137] [00229] [00236] [00284]
**ἄρχοντες** [00082]
**ἀσθενοῦντες** [00031]
**ἀσθενοῦσα** [00032]
**Ἀσσυρίων** [00202]
**ἀστέρες** [00166]
**ἄτεκ** [00203]
**ἀτίμητος** [00150]
**αὔξησιν** [00133]
**αὐτὰς** [00197] [00208]
**Αὕτη** [00179]
**αὐτὴν** [00148] [00200]
**αὐτήν** [00148] [00149] [00158] [00173]
**αὐτῆς** [00078] [00080] [00103] [00127] [00152] [00154] [00245]
**αὐτὸ** [00177]
**αὐτοὶ** [00016] [00094]
**αὐτοῖς** [00016] [00028] [00169] [00186]
**αὐτὸν** [00105] [00159] [00263]
**Αὐτὸς** [00182]
**Αὐτός** [00077]
**αὐτὸς** [00009] [00009] [00144] [00147] [00209]
**αὐτός** [00272] [00272]
**αὐτοῦ** [00063] [00063] [00079] [00174] [00175] [00230] [00254] [00272]
**αὐτοὺς** [00207] [00215]
**αὐτούς** [00116] [00168]
**αὐτῶν** [00017] [00036] [00086] [00088] [00091] [00107] [00138] [00208] [00277]
**ἀφ** [00208]
**ἀφίεται** [00220]
**ἀψίδων** [00137]

**Β** [00025]
**Βαβυλῶνα** [00008]
**Βαβυλώνιον** [00211]
**Βαβυλωνίων** [00016]
**Βαβυλῶνος** [00044] [00050]
**βαπτισμοὺς** [00120]
**βάρβαρα** [00118]
**Βαροὺχ** [00003]
**Βαρούχ** [00049]
**βασιλείαν** [00279]
**βασιλείας** [00006] [00278]
**βασιλέων** [00035]
**βασιλέως** [00135]
**βαστάζοντες** [00031]
**βίβλος** [00179]
**βίου** [00118]
**Βλέποντες** [00111]
**βλέπουσι** [00111] [00189]
**βοηθῆσαι** [00213]

**Γ** [00037]
**γάμους** [00164]
**γὰρ** [00006] [00014] [00020] [00028] [00050] [00074] [00075] [00088] [00108] [00111] [00114] [00117] [00141] [00147] [00153] [00157] [00177] [00182] [00193] [00203] [00207] [00229] [00247] [00264] [00268]
**γάρ** [00059] [00233] [00265] [00275]
**γέγονε** [00231]
**γεγονὼς** [00172] [00172]
**γέγραπται** [00143]
**γενόμενοι** [00236]
**γενομένων** [00041]
**γένος** [00229]
**γεώδεις** [00288]
**γεωργίας** [00116]
**γῆν** [00162]
**γῆς** [00097] [00172] [00176]
**γίγαντες** [00136]
**γίνεσθαι** [00209]
**γινώσκει** [00157]
**γινώσκομεν** [00131] [00151]
**γινώσκων** [00152]
**γνῶναι** [00153]
**γνωρίσματα** [00266]
**γνώσεως** [00131] [00282]
**γνώσῃ** [00067]
**γνῶσιν** [00096] [00162] [00212]
**γνῶσις** [00180]
**γοῦν** [00067]
**γράμματι** [00065] [00110]

**Δ** [00178]
**Δαβὶδ** [00268] [00276]
**δαίμονας** [00284]
**Δαίμονες** [00240]
**δαίμονες** [00141]
**δαιμονίοις** [00277]
**δαιμονιώδης** [00086]
**δαιμόνων** [00137] [00242]
**δὲ** [00009] [00039] [00106] [00118] [00121] [00124] [00125] [00132] [00133] [00138] [00139] [00148] [00151] [00159] [00162] [00164] [00165] [00166] [00189] [00200] [00204] [00208] [00209] [00212] [00213] [00216] [00219] [00221] [00267] [00277] [00279]
**δέ** [00194]
**δεδομένοις** [00169]
**Δέδωκα** [00234]
**δεήσεώς** [00224]
**δεῖ** [00153]
**δεῖγμα** [00036]
**Δείλαιαι** [00241]
**Δείλαιοι** [00239]
**δεομένη** [00225]
**Δέον** [00059]
**Δεῦτε** [00183]

δὴ [00040]
δηλοῖ [00276]
δηλονότι [00073] [00106] [00126] [00200]
δημιουργίαν [00236]
δι [00151] [00172] [00208] [00238] [00288]
διὰ [00032] [00034] [00041] [00047] [00090] [00116] [00133] [00159] [00161] [00180] [00193] [00209] [00212] [00215] [00219] [00221] [00227] [00229] [00231] [00279]
διάβολος [00193]
διαβόλῳ [00231]
διαθήκης [00113] [00258]
διαιωνίζουσα [00180]
διακρῖναι [00071]
διαλάμψαντες [00169]
διαλιμπάνει [00028]
διάνοιαν [00151] [00162]
διασπᾶσαι [00270]
διαφορὰς [00020]
διδάγματα [00258]
διδασκαλίαν [00102]
διδασκαλίας [00128] [00155]
διδασκόντων [00212]
δίδωμι [00269]
διέβη [00145] [00147]
διηνεκῆ [00027]
δικαιοσύνη [00114]
δικαιοσύνῃ [00272]
δικαιοσύνην [00114]
Δικαιοσύνης [00267]
δικαιοσύνης [00108] [00251] [00270]
δικαίου [00022]
δικαίως [00022]
διὸ [00249] [00268]
Διόδευσον [00181]
Διότι [00092]
Διώκοντες [00108]
διώνυμος [00009]
διώξαντες [00240]
διωξάσης [00246]
δοκεῖ [00153]
δόξα [00272]
δόξαι [00206]
δόξαν [00270]
δουλεύοντες [00277]
δυναμένης [00270]
δύναμιν [00234]
Δύναται [00212]
δυνατὴ [00213]

Ε [00252]
ἑαυτῆς [00204]
ἑαυτοῖς [00208]
ἑαυτοῦ [00238]
Ἑαυτοὺς [00047]
ἐβαπτίσθησαν [00256]
ἐγγόνοι [00113]
ἐγενήθησαν [00107] [00136]
ἐγένου [00058]
ἐγκατελείφθη [00204]
Ἐγκατέλιπες [00056]
ἔγνω [00153]
ἐγνωκέναι [00153]
ἔγνωσαν [00099] [00125]
ἐγὼ [00146]
Ἐγὼ [00213] [00216]
Ἐγώ [00062] [00076]
Ἔδειξεν [00042]
ἔδωκεν [00173]
ἐθνικοῖς [00110]
ἔθνος [00207]
Ἔθνος [00210]
ἐθνῶν [00082]
ἔθυον [00013]
Εἰ [00013] [00029] [00100] [00193] [00203] [00219] [00221]
Εἴ [00153]
εἰ [00014] [00201] [00218]
εἴ [00039]
εἶδον [00095] [00096]
εἰδότες [00124]
εἰδωλολατρείᾳ [00094]
εἰδωλολατρεία [00244]
εἰδὼς [00156]
εἰμι [00062] [00076]
εἶναι [00171]
εἰπεν [00005] [00167]
εἶπεν [00249]
εἴπῃ [00005]
εἰπὼν [00146]
εἰρηνεύουσα [00223]
εἰρηνεύωσιν [00016]
εἰρήνη [00077] [00268] [00272]
Εἰρήνην [00269]
εἰρήνην [00270]
εἰρήνης [00016] [00141] [00222]
Εἰς [00036] [00105]
εἰς [00008] [00011] [00074] [00074] [00080] [00108] [00118] [00142] [00164] [00195] [00204] [00215] [00219] [00256] [00279] [00279] [00286]
εἰσῆλθεν [00080]
εἰσὶν [00118]
εἰσιν [00082] [00094]
Εἴτε [00034]
εἴτε [00034]
εἶχεν [00223]
εἶχον [00020]
ἐκ [00034] [00044] [00050] [00071] [00131]
ἐκαλεῖτο [00009]
ἐκάλεσεν [00164]
Ἐκάλεσεν [00168]
ἐκβέβληνται [00137]
Ἔκδυσαι [00253]
Ἐκεῖ [00136]
ἐκείνους [00005]
ἐκζητηταί [00123]
ἐκζητοῦντες [00124]
Ἐκκλησίαν [00238] [00240] [00246]
Ἐκκλησίας [00264]
ἐκλείποντες [00033]

**ἐκλεκτὸν** [00151]
**ἐκλήθη** [00204]
**ἔκλινεν** [00144]
**ἐκρίθησαν** [00110]
**ἐκρίναμεν** [00047]
**ἐκυρίευσαν** [00083]
**ἔλαμψε** [00177]
**ἔλεος** [00121]
**ἐλευθέρωσον** [00044]
**Ἐλθέτωσαν** [00205]
**Ἐλιακεὶμ** [00009]
**ἐμάκρυνε** [00208]
**ἐμὲ** [00074]
**ἐμεμψάμεθα** [00047]
**ἐμὴν** [00269]
**ἐμνήσθησαν** [00127]
**ἐμοί** [00100]
**ἐμοῦ** [00191]
**ἐμπαίζοντες** [00084]
**ἐμπορεύονται** [00118]
**ἔμποροι** [00115]
**Ἐμπόρους** [00116]
**ἐμυθολόγησαν** [00120]
**ἐν** [00005] [00005] [00006] [00006] [00006] [00010] [00013] [00014] [00022] [00022] [00046] [00065] [00088] [00262]
**ἒν** [00177]
**Ἐν** [00004] [00007] [00019] [00073] [00084] [00169]
**ἐνανθρωπήσαντος** [00161]
**ἐνανθρωπήσας** [00238]
**ἐνανθρωπήσεως** [00159]
**ἐνάτῳ** [00006]
**ἑνδεκάτῳ** [00006]
**ἔνδυσαι** [00255]
**ἐνεδύσαντο** [00256]
**Ἐνέπλησεν** [00163]
**ἐνιαυτῷ** [00005]
**Ἐντεῦθεν** [00049]
**Ἐντολὴ** [00052]
**ἐντολῆς** [00120]
**ἐξ** [00044] [00137] [00185] [00229] [00236] [00272] [00284]
**Ἐξεδυσάμην** [00222]
**Ἐξελεῖται** [00214]
**ἐξενεχθῆναι** [00035]
**Ἐξεῦρεν** [00158]
**ἐξεύρεσις** [00091]
**ἐξήγαγες** [00044]
**ἐξηγοράσατο** [00193]
**Ἐξῆλθον** [00275]
**ἐξομολογήσεως** [00050]
**ἐξὸν** [00014]
**ἐξουσίαν** [00234]
**ἐξουσιαστὴς** [00039]
**ἐξυβρίσασα** [00204]
**ἑορτῆς** [00019]
**ἑορτῶν** [00020]
**ἐπ** [00207]
**ἐπάγειν** [00209]
**ἐπαίδευσέ** [00203]
**ἐπαιρόμενον** [00282]
**Ἐπαλαιώθης** [00051]
**ἐπάνω** [00234]
**ἐπέβη** [00047]
**ἐπειδὴ** [00086] [00138]
**Ἐπειδὴ** [00065] [00131] [00186] [00268] [00272]
**ἐπειδήπερ** [00067]
**Ἐπελάθεσθε** [00194]
**ἐπελεύσεται** [00228] [00247]
**ἐπεσπασάμεθα** [00208]
**ἐπεσταλκότων** [00050]
**ἐπέστρεψεν** [00248]
**Ἐπήγαγε** [00207]
**ἐπὶ** [00012] [00094] [00097] [00133] [00172] [00176] [00225] [00232] [00234]
**ἑπὶ** [00274]
**Ἐπὶ** [00098] [00274]
**ἐπίγειός** [00086]
**Ἐπίθου** [00261]
**ἐπιθυμίαις** [00254] [00277]
**ἐπιθυμίαν** [00171]
**ἐπίκηροι** [00039]
**ἐπιμήκη** [00133]
**Ἐπιστάμενοι** [00140]
**ἐπιστεύετε** [00100] [00100]
**ἐπιστεύθη** [00094]
**ἐπιστήμη** [00174]
**ἐπιστήμης** [00099]
**ἐπιστολῆς** [00050]
**ἐπιτελεῖν** [00014]
**ἐπιχαιρέτω** [00199]
**ἐποίησας** [00026]
**ἐπορεύθησαν** [00236]
**ἐπουρανίου** [00135]
**Ἐπράθητε** [00192]
**ἔπραττον** [00277]
**ἔργα** [00047]
**ἔργων** [00091] [00288]
**ἐρεῖτε** [00021]
**ἐρημίαν** [00221]
**ἔρημον** [00200]
**ἔρημος** [00220]
**ἐρημωθεῖσαν** [00200]
**ἐσμὲν** [00022]
**ἐσμεν** [00184]
**ἐστε** [00167]
**ἐστι** [00064] [00068] [00070] [00072]
**ἐστὶν** [00050] [00065]
**ἐστιν** [00066] [00077] [00086] [00272] [00272]
**ἔστιν** [00091] [00152] [00268]
**ἔσχε** [00193]
**ἐσχεδιάζομεν** [00023]
**ἐσχηκυῖαν** [00201]
**ἔτει** [00006]
**ἔτι** [00055]
**Ἔτι** [00121]
**ἐτιμωρήσατο** [00022]
**ἐτιμωροῦντο** [00036]
**ἐτρύγησαν** [00117]
**εὐαγγελικοῦ** [00274]

**εὐαγγελικῶς** [00177]
**εὐαγγελιστὴς** [00104]
**Εὐαγγελίων** [00180]
**εὐβαφεῖς** [00236]
**εὐμεγέθεις** [00139]
**εὗρε** [00078]
**εὑρεῖν** [00148]
**Εὗρεν** [00148]
**εὐσέβειαν** [00018] [00132]
**εὐσεβείας** [00162]
**εὔχεσθαι** [00016]
**Ἐφανέρωσεν** [00159]
**ἔφθασαν** [00108]
**ἐφόδου** [00246] [00270]
**ἐφύλαξαν** [00094]
**ἐχάρησαν** [00169]
**ἐχθροῦ** [00234]
**ἐχθρῶν** [00270]
**ἔχοντες** [00171]
**ἔχουσα** [00032]
**ἔχουσιν** [00054]
**ἕως** [00248]

**ζήτησιν** [00124]
**ζήτησον** [00067]
**ζητοῦντες** [00114]
**ζωή** [00070]
**ζωῆς** [00015] [00052]
**ζῶσιν** [00018]

**ἡ** [00006] [00030] [00032] [00052] [00059] [00062] [00065] [00077] [00086] [00088] [00150] [00151] [00179] [00180] [00204] [00219] [00221] [00244] [00272] [00272] [00272]
**ἢ** [00018] [00201] [00202] [00229]
**Ἡ** [00069] [00180] [00229] [00244]
**Ἢ** [00263]
**Ἣ** [00228]
**ἠγαπήσαμεν** [00144]
**ἠγάπησεν** [00144]
**ἡδύοσμα** [00122]
**ἩἘκκλησία** [00130]
**ἠκολούθησας** [00059]
**ἤκουσεν** [00219]
**ἠκούσθη** [00109]
**ἦλθέ** [00226]
**ἦλθε** [00105]
**ἥλιον** [00251]
**ἥλω** [00006]
**ἡμᾶς** [00144] [00172] [00193] [00238] [00284]
**ἡμεῖς** [00022] [00039] [00046] [00144] [00208] [00272]
**ἡμέραι** [00017]
**ἡμέραις** [00019]
**ἡμῖν** [00047] [00148] [00159]
**ἡμῶν** [00021] [00035] [00046] [00047] [00057] [00077] [00193] [00208] [00208] [00220] [00225] [00229] [00251] [00272] [00272] [00272]
**ἢν** [00223]
**ἦν** [00008] [00013] [00014] [00016] [00186]
**ἠρεμοῦσαν** [00200]
**ἧς** [00151]
**ἤσκησαν** [00141]
**Ἥτις** [00231]

**Θαιμὰν** [00118]
**θανάτου** [00055]
**θανάτῳ** [00203]
**Θάρσει** [00237]
**Θαρσεῖτε** [00146] [00190]
**θαυμάζεται** [00029]
**θαυμάσια** [00027]
**θαυμαστὸς** [00028]
**θαυματουργίᾳ** [00044]
**θαυματουργῶν** [00028]
**θέαν** [00197]
**θείας** [00200]
**θεῖον** [00201]
**θείῳ** [00195]
**Θεὸν** [00144]
**Θεόν** [00223]
**Θεὸς** [00016] [00022] [00028] [00208] [00238]
**Θεός** [00170]
**θεοσέβειαν** [00272]
**θεοσεβείας** [00270]
**Θεοῦ** [00054] [00060] [00079] [00081] [00096] [00114] [00114] [00120] [00129] [00186] [00209] [00213] [00217] [00225] [00282]
**Θεῷ** [00021]
**θεωρητικὴν** [00260]
**θεωρίας** [00034]
**θηριοτρόπων** [00083]
**θηριώδεις** [00118]
**θησαυροὺς** [00080]
**θῖνας** [00283]
**θνητοὶ** [00039]
**θυσίας** [00014]
**θυσιαστήριον** [00012]

**ἴδια** [00105]
**ἰδίαν** [00114]
**ἴδιοι** [00105]
**ἰδίῳ** [00193]
**Ἰδοὺ** [00046] [00220] [00233]
**Ἱερουσαλὴμ** [00014] [00266]
**Ἱερουσαλήμ** [00237] [00253] [00273]
**Ἰεχονίας** [00009]
**Ἰεχονίου** [00007]
**Ἰησοῦν** [00057] [00251]
**ἵνα** [00005] [00016] [00018]
**Ἵνα** [00017] [00018]
**Ἰουδαίων** [00219] [00244]
**ἴσ** [00174] [00202]
**Ἴσοι** [00110]
**Ἰσραὴλ** [00129] [00185] [00187]
**Ἰσραήλ** [00048] [00191]

**ἰσχύς** [00066]
**Ἴσως** [00003]
**Ἰωακεὶμ** [00009]
**Ἰωάννης** [00104]

**κἀγὼ** [00183]
**καθ** [00193]
**καθελκόμενοι** [00096]
**καθήμενος** [00038]
**Καθὼς** [00100] [00104] [00143]
**καθὼς** [00153]
**καινῆς** [00258]
**καιρὸν** [00240]
**καιρούς** [00020]
**καιρῷ** [00004] [00005]
**κακουμένη** [00032]
**κακῶν** [00058] [00242] [00246]
**κακώσαντες** [00239]
**Καλεῖ** [00200]
**καλεῖ** [00132] [00182] [00197]
**καλέσαι** [00238]
**καλούμεθα** [00272]
**καρπούμενοι** [00090]
**κατ** [00005]
**καταλῦσαι** [00270]
**καταπεπτώκαμεν** [00195]
**κατασκαφεὶς** [00013]
**κατασκευαὶ** [00242]
**κατασκευάσας** [00160]
**κατατομὰς** [00286]
**κατέβη** [00144]
**κατέλαβε** [00081]
**κατελείφθην** [00216]
**κατεργάζεται** [00175]
**κατεσκευάσθη** [00161]
**κατῴκησαν** [00097]
**κεκόλλησαι** [00065]
**ΚΕΦ** [00025] [00037] [00178] [00252]
**ΚΕΦΑΛΑΙΟΝ** [00001]
**κεφαλὴ** [00264]
**κηδεμονίας** [00200]
**κηρύγματος** [00274]
**Κληθήσεται** [00265]
**κλῆσιν** [00171]
**κοίλας** [00288]
**κοπιῶντες** [00183]
**κόσμον** [00146]
**κόσμου** [00076] [00167]
**κρατουμένων** [00055]
**κρεῖττον** [00133]
**κρίματα** [00079] [00081]
**κριμάτων** [00120]
**κρίσεως** [00036]
**κρίσιν** [00121]
**κτήνεσιν** [00165]
**Κτήνη** [00165]
**κτήσεως** [00134]
**κύπτουσα** [00032]
**κύπτουσι** [00031]
**Κύριε** [00040]
**Κύριον** [00057] [00126] [00251] [00263]
**Κύριός** [00061] [00075] [00100]
**Κύριος** [00146] [00164] [00203]
**Κυρίῳ** [00021] [00073]
**κυρίως** [00204]

**λαμπρότερον** [00229]
**λαμπρότητα** [00223]
**λαὸς** [00045]
**λαός** [00190]
**λέγει** [00165] [00269]
**Λέγεται** [00209]
**λέγουσιν** [00218] [00218]
**λέγων** [00182]
**λογικοὶ** [00195]
**λογισμοῖς** [00059]
**λόγον** [00022] [00186]
**Λόγος** [00172] [00238]
**λόγος** [00042] [00130] [00198]
**λόγου** [00161]
**λόγῳ** [00195]
**λυπηθήσεται** [00243]
**λύπης** [00032]

**Μάθε** [00064]
**μάθε** [00065]
**μαθήμασι** [00098]
**Μακάριοί** [00184]
**μακάριοι** [00189]
**μακροβίωσις** [00070]
**μάστιγος** [00215]
**μάταιαι** [00206]
**ματαίοις** [00059]
**ματαιότητι** [00118]
**με** [00183] [00203] [00203]
**μεγάλα** [00031]
**μέγας** [00129]
**μέγεθος** [00032]
**μελλούσης** [00036]
**μέμνηται** [00003]
**μὲν** [00124] [00161] [00218] [00279]
**μέρους** [00131]
**Μεῤῥὰν** [00118]
**Μεῤῥάν** [00115]
**μετέχουσιν** [00092]
**μετοικήσας** [00008]
**μετώπῳ** [00262]
**μηδὲ** [00270]
**Μηδεὶς** [00199]
**μηδὲν** [00171] [00209]

**μηκέτι** [00270]
**μίμησιν** [00063]
**μίτραν** [00261]
**μνημονευόμενε** [00191]
**μνήσθητι** [00043]
**μοι** [00199] [00226]
**μόνην** [00200] [00200] [00201] [00202]
**Μόνος** [00147] [00157]
**μόνῳ** [00110]
**μου** [00190] [00224] [00235]
**μυθολόγοι** [00119]
**μυστήρια** [00135]
**μυστήριον** [00177]
**μυστηρίου** [00130] [00159] [00180]
**Μωϋσεῖ** [00100]

**Ναβουχοδονόσορ** [00008]
**Ναβυχοδονόσορ** [00015]
**ναὸς** [00013]
**νέας** [00266]
**νενίκηκα** [00146]
**νεών** [00201]
**Νεώτεροι** [00095]
**νοεῖσθαι** [00212]
**νοητῆς** [00034]
**νομικῶς** [00177]
**νομοθεσίας** [00098]
**νομοθετῶν** [00106]
**νόμον** [00108] [00108]
**νόμος** [00094]
**νόμου** [00110] [00110]
**νόμῳ** [00059]
**νύμφην** [00238]
**νυμφίον** [00204]
**Νῦν** [00067]
**νῦν** [00131] [00200]

**ξεστῶν** [00120]

**ὁ** [00008] [00013] [00028] [00042] [00049] [00076] [00094] [00100] [00104] [00113] [00129] [00130] [00152] [00156] [00157] [00164] [00170] [00188] [00193] [00193] [00198] [00203] [00220] [00238] [00238] [00264] [00268] [00272] [00272]
**Ὁ** [00009] [00061] [00063] [00074] [00075] [00134] [00146] [00160] [00208] [00238]
**Ο** [00172] [00187]
**ὁδοὶ** [00079]
**ὀδὸν** [00152]
**Ὁδὸν** [00099] [00125]
**ὁδός** [00062]
**ὁδοῦ** [00107]
**ὁδοὺς** [00236]
**ὁδῷ** [00060] [00063]
**Οἱ** [00031] [00083] [00096] [00106] [00113] [00115] [00124] [00166] [00171] [00235] [00236]
**Οἷ** [00090] [00120]
**οἱ** [00033] [00033] [00082] [00089] [00094] [00105] [00110] [00118] [00118] [00119] [00123] [00136] [00141] [00183] [00189] [00218] [00239] [00240] [00277]
**οἷ** [00083]
**οἰκειούμενοι** [00218]
**οἰκητόρων** [00221]
**οἶκος** [00129] [00220]
**οἰκτιρμῶν** [00213]
**Οἶς** [00094]
**οἴσει** [00149]
**οἵτε** [00141]
**Οἰωνοσκοποῦντες** [00085]
**ὁμολογεῖται** [00032]
**ὁμόνοιαν** [00286]
**ὃν** [00059]
**ὄνομα** [00026] [00265]
**Ὀνομαστοὶ** [00138]
**ὄντες** [00022] [00141]
**ὀρνέοις** [00084]
**ὄρος** [00281]
**Ὅσοι** [00256]
**ὀστᾶ** [00035] [00036]
**ὅτε** [00204] [00219] [00248]
**ὅτι** [00047] [00065] [00137] [00144] [00144] [00161] [00189] [00189]
**Ὅτι** [00038] [00045] [00079] [00089] [00135] [00150] [00174] [00195] [00213]
**οὐ** [00006] [00014] [00028] [00029] [00067] [00074] [00105] [00111] [00203]
**Οὐδὲ** [00101] [00103] [00109] [00127]
**οὐδὲ** [00094]
**Οὐκ** [00005] [00152]
**οὐκ** [00091] [00099] [00108] [00111] [00125]
**οὖν** [00032] [00063]
**οὔπω** [00131] [00153]
**οὐρανίων** [00137]
**οὐρανὸν** [00174]
**οὐρανόν** [00142]
**οὐρανοῦ** [00084]
**οὐρανοὺς** [00144]
**οὐρανῶν** [00279]
**οὗς** [00167]
**οὕς** [00188]
**Οὔτε** [00112]
**οὔτε** [00006]
**οὗτοί** [00094]
**Οὗτος** [00170]
**οὗτος** [00009]
**Οὕτως** [00243]
**οὕτως** [00044]
**Οὐχ** [00144]
**οὐχ** [00114]
**ὄφεων** [00234]
**ὀφθαλμοὶ** [00033] [00189]
**ὀφθεὶς** [00172]
**ὀχυρώματα** [00242]
**ὄψει** [00230]

**παιδείαν** [00215]
**Παιδεύων** [00203]
**πάλαι** [00288]

**παλαιᾶς** [00113] [00258]
**παλαιὸν** [00254]
**Πᾶν** [00282]
**πᾶν** [00281]
**πάντα** [00050] [00156] [00161]
**πάντες** [00183]
**παντοκράτωρ** [00040]
**παντός** [00010]
**παρ** [00028] [00191]
**παραδείγματι** [00197]
**παραπεμπομένους** [00279]
**παρέδωκέ** [00203]
**παρέλαβον** [00105]
**παροικίας** [00206]
**πάροικοι** [00196] [00205]
**παροίκους** [00197]
**παρόντων** [00058]
**Παρορμᾷ** [00185]
**Πᾶσα** [00088]
**πᾶσα** [00174]
**πᾶσαν** [00234]
**πᾶσι** [00028]
**πατεῖν** [00234]
**πατέρων** [00047]
**Πατὴρ** [00157]
**Πατρὸς** [00172]
**πέμπτῳ** [00006]
**πενθῆρες** [00276]
**Πένθους** [00277]
**πένθους** [00197]
**Πενθοῦσα** [00225]
**Περὶ** [00137]
**περὶ** [00015] [00016] [00113] [00138] [00212]
**περιαιρεθέντων** [00288]
**Περιβαλοῦ** [00257]
**Περίβλεψον** [00250]
**περιελῶ** [00245]
**περιέχει** [00135]
**περιλειφθεῖσαν** [00202]
**πεφορτισμένοι** [00183]
**πήγανα** [00122]
**πηγὴ** [00059]
**πιστεύων** [00074]
**πίστεως** [00279]
**πίστιν** [00122]
**πίστις** [00151]
**πιστῶν** [00262]
**πλάσιν** [00229]
**πλείονα** [00249]
**πλεονεξίᾳ** [00088]
**πληροῦσθαι** [00285] [00288]
**Πνεύματι** [00065]
**πνευματικὴ** [00174]
**πνευματικὸς** [00187]
**ποδηγῷ** [00059]
**ποιεῖσθαι** [00124]
**ποιῆσαι** [00171]
**ποιήση** [00029]
**ποικίλαις** [00277]
**ποικίλη** [00180]
**ποικίλην** [00102]
**ποικίλης** [00246]
**ποικίλων** [00090]
**πόλεις** [00198] [00241]
**πόλεμον** [00140] [00141]
**πολεμοῦντας** [00284]
**πόλις** [00006] [00221]
**πολιτείας** [00272] [00274]
**πολυχρόνιοι** [00018]
**πονηροὺς** [00164]
**πορεύεται** [00063]
**πορευόμενος** [00063]
**πόῤῥω** [00107]
**ποτηρίων** [00120]
**Ποῦ** [00066] [00068] [00070] [00072] [00082]
**ποῦ** [00064]
**πρακτικὴν** [00260]
**πράξεσι** [00096]
**πρὸ** [00165]
**πρό** [00067]
**προαρπάσαι** [00185]
**προβλέπει** [00227]
**προγόνων** [00003]
**προηγησάμενα** [00050]
**προθύμως** [00171]
**προκατηγγέλθη** [00138]
**προλέγει** [00227]
**πρόξενος** [00058]
**Πρὸς** [00151] [00161] [00162] [00251]
**πρὸς** [00167] [00174] [00188] [00197] [00198] [00223]
**πρός** [00183]
**προσέθηκεν** [00267]
**Προσελογίσθης** [00053]
**προσενήνοχεν** [00059]
**προσεύξεσθε** [00015]
**προσευχῆς** [00040]
**προστάξας** [00016]
**προσταττόμενον** [00171]
**προσώπων** [00090]
**πρότερον** [00008]
**προτιμῶντες** [00171]
**Προτρέπεται** [00215]
**Προὐφασιζόμεθα** [00024]
**προφερόμενα** [00050]
**προφητείας** [00155]
**προφητεύειν** [00049]
**προφήτη** [00028]
**προφητικῶς** [00177]
**Πρῶτον** [00211]
**πρῶτον** [00186]
**Πῦρ** [00247]

**ῥήματα** [00050]
**ῥητὸν** [00161]

**Ῥωμαίων** [00211]

**Σάκκον** [00224]
**σαρκικαῖς** [00096]
**Σαυτῷ** [00058]
**σαφῶς** [00042]
**σὲ** [00239]
**σε** [00059]
**σεαυτῷ** [00026]
**Σεδεκίου** [00006]
**σημεῖα** [00029]
**σήμερον** [00022] [00046]
**Σιών** [00196] [00205]
**σκανδάλων** [00288]
**σκορπίων** [00234]
**σκότους** [00092]
**σὸς** [00045]
**σου** [00027] [00265]
**σοφία** [00086] [00088] [00150]
**σοφίας** [00059] [00125]
**σοφιστικῆς** [00212]
**σοφοὶ** [00083]
**σοφοῦ** [00159]
**σοφῶν** [00094]
**σταυρὸν** [00262]
**σταυροῦ** [00231]
**σταφυλῆς** [00117]
**στῆσαι** [00114]
**στολὴν** [00222]
**Σὺ** [00039]
**σὺ** [00038]
**συγκαθελκόμενοι** [00118]
**συγχωρήσεως** [00209]
**συμβληθέντας** [00165]
**συμφορὰς** [00034]
**συμφώνως** [00113]
**σὺν** [00171] [00254]
**Συναγωγὴ** [00204] [00219]
**Συναγωγή** [00244]
**Συναγωγῆς** [00246]
**συναναστραφείς** [00172]
**συνελθόντων** [00011]
**σύνεσις** [00068]
**Συνέταξε** [00280]
**συνετῶς** [00124]
**συνήθει** [00044]
**συνῆκαν** [00101]
**σχῆμα** [00276]
**σχήματι** [00050]
**σωθῆναι** [00213]
**Σωτήρ** [00188] [00268]
**Σωτῆρος** [00227]
**σωφρονεστέρας** [00197]

**Τὰ** [00242]
**τὰ** [00027] [00036] [00047] [00050] [00079] [00081] [00105] [00156] [00161] [00189] [00218] [00266]
**ταγέντες** [00137]
**ταῖς** [00096] [00254] [00277]
**τάξιν** [00177]
**ταπεινοῦσθαι** [00281]
**Τὰς** [00155] [00197] [00286]
**τὰς** [00014] [00032] [00034] [00127] [00155] [00198] [00208] [00236] [00288]
**Ταῦτα** [00258]
**ταῦτα** [00187] [00218]
**ταύτην** [00227]
**Ταχθέντες** [00117]
**Τεθνηκότων** [00041]
**τεθνηκότων** [00040]
**τεκταίνοντες** [00089]
**τέλειον** [00131]
**τελευτὴν** [00036]
**τερον** [00067]
**Τῇ** [00044] [00060]
**τῇ** [00046] [00063] [00114] [00118] [00199]
**Τὴν** [00102] [00154] [00223] [00227]
**τὴν** [00011] [00041] [00041] [00096] [00114] [00114] [00121] [00122] [00124] [00132] [00133] [00147] [00152] [00162] [00171] [00185] [00193] [00197] [00200] [00200] [00212] [00215] [00219] [00221] [00222] [00229] [00230] [00234] [00236] [00238] [00240] [00246] [00260] [00261] [00269] [00270] [00270] [00270] [00279]
**Τῆς** [00141] [00246] [00266]
**τῆς** [00006] [00015] [00016] [00034] [00036] [00040] [00042] [00050] [00059] [00069] [00097] [00098] [00107] [00113] [00115] [00128] [00131] [00134] [00159] [00162] [00176] [00200] [00206] [00215] [00222] [00224] [00246] [00251] [00258] [00264] [00270] [00270] [00270] [00272] [00279] [00282]
**τί** [00213]
**τι** [00153]
**τιμίου** [00231]
**τιμωρούμεθα** [00208]
**τινας** [00020]
**Τίς** [00078] [00081] [00142] [00145]
**τίς** [00067] [00080]
**τις** [00153]
**Τὸ** [00148] [00276]
**τὸ** [00012] [00035] [00042] [00071] [00076] [00087] [00089] [00090] [00116] [00121] [00131] [00133] [00161] [00167] [00171] [00177] [00177] [00193] [00209] [00211] [00211] [00229]
**Τοῖς** [00054]
**τοῖς** [00028] [00084] [00098] [00110] [00169] [00172] [00225]
**Τὸν** [00057] [00126] [00254] [00262]
**τὸν** [00022] [00038] [00074] [00078] [00142] [00144] [00146] [00151] [00157] [00186] [00201] [00204] [00223] [00249] [00251] [00251] [00262] [00263] [00268] [00276]
**Τόπον** [00132]
**τόπον** [00078]
**τόπος** [00134]
**τόπῳ** [00013]
**τότε** [00204]
**Τοῦ** [00035] [00071]
**τοῦ** [00003] [00011] [00022] [00055] [00060] [00071] [00076] [00079] [00081] [00083] [00084] [00096] [00110] [00110] [00114] [00114] [00118] [00129] [00130] [00141] [00148] [00159] [00161] [00167] [00171] [00172] [00180] [00186] [00197] [00206] [00227] [00231] [00234] [00234] [00248] [00262] [00274] [00282]
**Τοὺς** [00128] [00167] [00284]
**τοὺς** [00005] [00164] [00165] [00185]
**τουτέστι** [00096]
**τοῦτο** [00176] [00201] [00212]
**τούτοις** [00110]
**Τοῦτον** [00008]
**τούτου** [00083] [00118] [00165] [00206]
**τούτων** [00067]
**τραφέντες** [00195]
**τραχείας** [00236]

**τραχήλους** [00232]
**τρίβον** [00154]
**τρίβους** [00127]
**τρόποι** [00118]
**τρόπους** [00128]
**τρυφεροὶ** [00236]
**τρυφεροί** [00235]
**τυπούμενον** [00262]
**τῷ** [00004] [00005] [00005] [00006] [00006] [00006] [00013] [00028] [00059] [00065] [00073] [00110] [00193] [00197] [00203] [00231] [00262]
**Τῶν** [00055]
**τῶν** [00003] [00011] [00016] [00040] [00041] [00047] [00050] [00050] [00058] [00067] [00082] [00083] [00091] [00094] [00106] [00137] [00137] [00137] [00180] [00212] [00218] [00219] [00221] [00242] [00242] [00244] [00246] [00262] [00270] [00279] [00286] [00288]

**ὕβριν** [00219]
**υἱοὶ** [00106] [00112]
**Υἱόν** [00151] [00157]
**υἱὸς** [00009]
**Υἱοῦ** [00002]
**υἱοὺς** [00278]
**ὑμᾶς** [00183] [00214]
**Ὑμεῖς** [00167]
**ὑμῖν** [00213] [00220] [00234] [00269]
**ὑμῶν** [00189]
**Ὑμῶν** [00189]
**ὑπ** [00175]
**ὑπακούσαντες** [00171]
**Ὑπέδειξεν** [00148]
**ὑπέρογκοι** [00139]
**ὑπετάγησαν** [00114]
**ὑπηκόους** [00198]
**ὑπὸ** [00041] [00055] [00202] [00279]
**ὑπογραμμὸς** [00272]
**ὕστερον** [00211]
**ὑψηλῆς** [00274]
**ὑψηλόν** [00281]
**ὕψωμα** [00282]

**φάραγγας** [00285]
**φαύλου** [00071]
**φέρεσθαι** [00286]
**φεύγων** [00276]
**φησὶ** [00041] [00058]
**φησι** [00116] [00233]
**φησὶν** [00032] [00039] [00044] [00047] [00074] [00113] [00137]
**φησίν** [00104] [00187]
**φησιν** [00061] [00075] [00076] [00100] [00188]
**φορτία** [00031]
**φρόνησις** [00052] [00064] [00065]
**φῦλα** [00118]
**φῶς** [00072] [00076] [00095] [00096] [00167]

**χάριν** [00185]
**χαρίσμασι** [00169]
**χειρόγραφον** [00193]
**Χελκίου** [00002]
**Χήρα** [00204]
**χήρᾳ** [00199]
**χήραν** [00200]
**χορηγὸς** [00067]
**χρηματίζομεν** [00045]
**χρῆσαι** [00044]
**χρήσασθαι** [00059]
**Χριστὸν** [00204] [00219] [00256] [00256] [00279]
**Χριστόν** [00057] [00251]
**Χριστὸς** [00193] [00272]
**Χριστός** [00264]
**Χριστοῦ** [00141] [00227] [00229] [00262]
**Χριστῷ** [00171]
**χρόνον** [00249]
**χρόνους** [00005]
**χρυσίον** [00151]

**ψευδοχρίστων** [00286]
**ψευδώνυμον** [00212]
**ψυχὰς** [00288]
**Ψυχὴ** [00032]
**ψυχή** [00030]
**ψυχὴν** [00213]
**ψυχῆς** [00042]
**ψυχικὴ** [00086]

**Ὦ** [00129] [00191]
**ὢν** [00009]
**ὤν** [00113]
**ὡς** [00003] [00044] [00050] [00129] [00139] [00195] [00200] [00201] [00202] [00276]
**Ὡς** [00278]
**Ως** [00198] [00270]
**ὦσὶ** [00010]
**ὦσὶν** [00007]
**ὦσιν** [00017] [00018]
**ὦτα** [00189]
**ὤφθη** [00176]